τῷ τε τοῦ ♄ καὶ τῷ τοῦ ♃. οἱ δὲ περὶ τὸν βοώτην τῷ τοῦ ☿ καὶ τῷ τοῦ * ♃ ὁ δὲ λαμπρὸς καὶ ὑπόκιρρος τῷ τοῦ ♃ ὁ καὶ ἀρκτοῦρος καλούμενος. οἱ δὲ ἐν τῷ βορείῳ στεφάνῳ τῷ τῆς ♀ καὶ τῷ τοῦ ☿. οἱ δὲ κατὰ τὸν ἐν γόνασι τῷ τοῦ ☿. οἱ δὲ ἐν τῇ λύρᾳ τῷ τῆς ♀ καὶ τῷ τοῦ ☿. καὶ οἱ ἐν τῇ ὄρνιθι δὲ ὡσαύτως. οἱ δὲ κατὰ τὴν κασσιέπειαν τῷ τοῦ ♄ καὶ τῷ τῆς ♀. οἱ δὲ κατὰ τὸν περσέα τῷ τοῦ ♃ καὶ τῷ τοῦ ♄. οἱ δὲ ἐν τῇ λαβῇ τῆς μαχαίρας συστροφὴ τῷ τοῦ ♂ καὶ τῷ τοῦ ἑρμοῦ. οἱ δὲ κατὰ τὸν ἡνίοχον λαμπροὶ τῷ τοῦ ἄρεως καὶ τῷ τοῦ ☿. οἱ δὲ κατὰ τὸν ὀφιοῦχον τῷ τοῦ ♄ καὶ ἠρέμα τῷ τῆς ἀφροδίτης. οἱ δὲ περὶ τὸν ὄφιν αὐτοῦ τῷ τοῦ ♄ καὶ τῷ τοῦ ἄρεως. οἱ δὲ κατὰ τὸν οἰστὸν τῷ τοῦ ♂ καὶ ἠρέμα τῷ τῆς ♀. οἱ δὲ περὶ τὸν ἀετὸν τῷ τοῦ ♂ καὶ τῷ τοῦ ♃. οἱ δὲ ἐν τῷ δελφῖνι τῷ τοῦ ♄ καὶ τῷ τοῦ ♂. οἱ δὲ κατὰ τὸν ἵππον λαμπροὶ τῷ τοῦ ♂ καὶ τῷ τοῦ ☿. οἱ δὲ ἐν τῇ ἀνδρομέδῃ τῷ τῆς ♀. οἱ δ' ἐν τῷ δέλτα τῷ τοῦ ☿. τῶν δὲ ἐν τοῖς νοτιωτέροις τοῦ ζωδιακοῦ μορφώμασι ὁ μὲν ἐν τῷ στόματι τοῦ νοτίου ἰχθύος λαμπρὸς, ὁμοίαν ἔχει τὴν ἐνέργειαν τῷ τῆς ♀ καὶ τῷ τοῦ ☿. οἱ δὲ περὶ τὸ κῆτος τῷ τοῦ ♄. οἱ δὲ περὶ τὸν ὠρίωνα, οἱ μὲν ἐπὶ τῶν ὤμων τῷ τοῦ ♂ καὶ τῷ τοῦ ☿. οἱ δὲ λοιποὶ λαμπροὶ τῷ τοῦ ♃ καὶ τῷ τοῦ ♄. οἱ δὲ ἐν τῷ ποταμῷ ὁ μὲν ἔσχατος καὶ ὁ λαμπρὸς τῷ τοῦ ♃ οἱ δὲ λοιποὶ τῷ τοῦ ♄ οἱ δὲ ἐν τῷ λαγωῷ τῷ τοῦ ☿. οἱ δὲ περὶ τὸν κύνα οἱ μὲν ἄλλοι τῷ τῆς ♀ ὁ δὲ ἐπὶ τοῦ στόματος λαμπρὸς τῷ τοῦ ♃ καὶ ἠρέμα τῷ τοῦ ♂. οἱ δὲ κατὰ τὸν ὕδρον λαμπροὶ τῷ τοῦ ♄ καὶ τῷ τῆς ♀. οἱ δὲ ἐν τῷ κρατῆρι τῷ τῆς ♀ καὶ ἠρέμα τῷ τοῦ ☿. οἱ δὲ περὶ τὸν κόρακα τῷ τοῦ ♂ καὶ τῷ τοῦ ♄. οἱ δὲ λαμπροὶ οἱ τῆς ἀργοῦς τῷ τοῦ ♄ καὶ τῷ τοῦ ♃. οἱ δὲ περὶ τὸν κένταυρον οἱ μὲν ἐν τῷ ἀνθρωπείῳ σώματι τῷ τῆς ♀ καὶ τῷ τοῦ ☿. οἱ δὲ ἐν τῷ ἵππῳ λαμπροὶ τῷ τῆς ♀ καὶ τῷ τοῦ ♃. οἱ δὲ περὶ τὸ θηρίον λαμπροὶ τῷ τοῦ ♄ καὶ ἠρέμα τῷ τοῦ ἄρεως. οἱ δὲ ἐν τῷ θυματηρίῳ τῷ τῆς ♀ καὶ ἠρέμα τῷ τοῦ ♄. οἱ δὲ ἐν τῷ νοτίῳ στεφάνῳ λαμπροὶ τῷ τοῦ ♄ καὶ τῷ τοῦ ☿.

## Περὶ τῆς τῶν ὡρῶν καὶ δ΄ γωνιῶν δυνάμεως.

Αἱ μὲν οὖν τῶν ἄστρων καθ' ἑκάστας δυνάμεις τοιαῦται ἔτυχον ὑπὸ τῶν παλαιοτέρων παρατηρήσεως. καὶ τῶν ὡρῶν δὲ τῶν τοῦ ἔτους, δ΄, οὐσῶν ἔαρός τε καὶ θέρους καὶ μετοπώρου καὶ χειμῶνος.